εἶπεν κύριος ὁ θεὸς Ισραηλ λέγων Γράψον πάντας τοὺς λόγους,
οὓς ἐχρημάτισα πρὸς σέ, ἐπὶ βιβλίου · [3]ὅτι ἰδοὺ ἡμέραι ἔρχονται, 3
φησὶν κύριος, καὶ ἀποστρέψω τὴν ἀποικίαν λαοῦ μου Ισραηλ καὶ
Ιουδα, εἶπεν κύριος, καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν, ἣν ἔδωκα
τοῖς πατράσιν αὐτῶν, καὶ κυριεύσουσιν αὐτῆς.
[4]Καὶ οὗτοι οἱ λόγοι, οὓς ἐλάλησεν κύριος ἐπὶ Ισραηλ καὶ Ιουδα 4
[5]Οὕτως εἶπεν κύριος Φωνὴν φόβου ἀκούσεσθε · φόβος, καὶ οὐκ 5
ἔστιν εἰρήνη. [6]ἐρωτήσατε καὶ ἴδετε εἰ ἔτεκεν ἄρσεν, καὶ περὶ φόβου, 6
ἐν ᾧ καθέξουσιν ὀσφὺν καὶ σωτηρίαν · διότι ἑώρακα πάντα ἄνθρω-
πον καὶ αἱ χεῖρες αὐτοῦ ἐπὶ τῆς ὀσφύος αὐτοῦ, ἐστράφησαν πρόσ-
ωπα, εἰς ἴκτερον [7]ἐγενήθη. ὅτι μεγάλη ἡ ἡμέρα ἐκείνη καὶ οὐκ 7
ἔστιν τοιαύτη, καὶ χρόνος στενός ἐστιν τῷ Ιακωβ, καὶ ἀπὸ τούτου
σωθήσεται. [8]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπεν κύριος, συντρίψω τὸν ζυγὸν 8
ἀπὸ τοῦ τραχήλου αὐτῶν καὶ τοὺς δεσμοὺς αὐτῶν διαρρήξω, καὶ
οὐκ ἐργῶνται αὐτοὶ ἔτι ἀλλοτρίοις · [9]καὶ ἐργῶνται τῷ κυρίῳ θεῷ 9
αὐτῶν, καὶ τὸν Δαυιδ βασιλέα αὐτῶν ἀναστήσω αὐτοῖς.
[12]Οὕτως εἶπεν κύριος Ἀνέστησα σύντριμμα, ἀλγηρὰ ἡ πληγή 12
σου · [13]οὐκ ἔστιν κρίνων κρίσιν σου, εἰς ἀλγηρὸν ἰατρεύθης, ὠφέ- 13
λεια οὐκ ἔστιν σοι. [14]πάντες οἱ φίλοι σου ἐπελάθοντό σου, οὐ μὴ 14
ἐπερωτήσουσιν · ὅτι πληγὴν ἐχθροῦ ἔπαισά σε, παιδείαν στερεάν,
ἐπὶ πᾶσαν ἀδικίαν σου ἐπλήθυναν αἱ ἁμαρτίαι σου. [16]διὰ τοῦτο 16
πάντες οἱ ἔσθοντές σε βρωθήσονται, καὶ πάντες οἱ ἐχθροί σου,
κρέας αὐτῶν πᾶν ἔδονται · ἐπὶ πλῆθος ἀδικιῶν σου ἐπληθύνθησαν
αἱ ἁμαρτίαι σου, ἐποίησαν ταῦτά σοι · καὶ ἔσονται οἱ διαφοροῦν-
τές σε εἰς διαφόρημα, καὶ πάντας τοὺς προνομεύοντάς σε δώσω
εἰς προνομήν. [17]ὅτι ἀνάξω τὸ ἴαμά σου, ἀπὸ πληγῆς ὀδυνηρᾶς 17
ἰατρεύσω σε, φησὶν κύριος, ὅτι ἐσπαρμένη ἐκλήθης · θήρευμα ὑμῶν
ἐστιν, ὅτι ζητῶν οὐκ ἔστιν αὐτήν. [18]οὕτως εἶπεν κύριος Ἰδοὺ ἐγὼ 18
ἀποστρέψω τὴν ἀποικίαν Ιακωβ καὶ αἰχμαλωσίαν αὐτοῦ ἐλεήσω ·
καὶ οἰκοδομηθήσεται πόλις ἐπὶ τὸ ὕψος αὐτῆς, καὶ ὁ ναὸς κατὰ
τὸ κρίμα αὐτοῦ καθεδεῖται. [19]καὶ ἐξελεύσονται ἀπ᾽ αὐτῶν ᾄδοντες 19
καὶ φωνὴ παιζόντων · καὶ πλεονάσω αὐτούς, καὶ οὐ μὴ ἐλαττω-

2 εχρημ.] pr. εγω A || 3 κυριος 2°] + παντοκρατωρ SA || 5 φοβου] + αυτου S(†) | ακουσασθαι(pro -θε) A† || 6 καθεξουσιν] καταξ. S*† || 7 χρονος] pr. ο S† || 8 τον et του > SA | ετι] > B*†, + εν A† || 9 βασιλεα] pr. τον A || 12 ειπεν] λεγει A | ανεστησαν S*† | συντριμμα] + σου A || 13 ουκ εστιν / σοι] tr. B† || 14 επελαθεντο S†: cf. 3 21 || 16 εσθ. σε] εχθροι σου S† | αδικιων] -κιας A†, δικαιων S† | διαφορουντες] β pro ρ *C*†, βια φοβουντες S*† | διαφορημα] β pro ρ *C*†, βια φορημα S*† | παντες οι προνομευοντες σε δοθησονται S† || 17 ιαμα] ιματιον A† | αυτην] ν > S† || 18 αποστρεφω S | την αποικιαν … αιχμαλωσιαν] την > S, A hab. την ante amba uerba; αποικ. et αιχμαλ. tr. A† | το υψος] τειχος A† | ναος *L*] λαος BSA || 19 και 2° > B† | ελαττονωθωσιν S†